**01 ΑΠΡΙΛΙΟΥ 2020**
**Τετάρτη τῆς Ε΄ Ἑβδομάδος τῶν Νηστειῶν**
**ὁ Ὄρθρος**
**Τετάρτη πρωῒ**
Ἦχος πλ. δ΄ - 01.04.2020
Ὁσίας Μαρίας τῆς Αἰγυπτίας, Γεροντίου καὶ Βασιλείδου τῶν Μαρτύρων

**Εἰς τὸν Ὄρθρον.**

ὁ ἱερεύς· *«Εὐλογητὸς ὁ Θεός»*, *«Βασιλεῦ οὐράνιε»*, ὁ Ἀναγνώστης· Τρισάγιον κ.τ.λ., *«Ὅτι σοῦ ἐστί»*, ὁ Ἀναγνώστης· *«Κύριε, ἐλέησον»* (ιβ΄), Δόξα, Καὶ νῦν, *«Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ»*, ὁ ἱερεύς· *«Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ»*, ὁ δὲ Ἀναγνώστης· **τὸν Ἑξάψαλμον.**
ὁ ἱερεύς· Τὰ εἰρηνικὰ καὶ ἡ ἐκφώνησις *«Ὅτι πρέπει σοι»*.

**ΤΡΙΑΔΙΚΑ :** ὁ Χορός· εἰς ἦχον πλ. δ΄ (τῆς ἑβδομάδος) τὸ Ἀλληλουάριον τετράκις μὲ τοὺς στίχους αὐτοῦ *«Ἐκ νυκτὸς ὀρθρίζει»* κ.λπ., ὡς ἐν τῷ Ὡρολογίῳ,

μεθ᾽ ὃ τοὺς ἐν τῷ τέλει τοῦ Τριῳδίου Τριαδικοὺς ὕμνους τοῦ πλ. δ΄ ἤχου (τῆς ἑβδομάδος).

Ὁρᾶν Σε μὴ τολμῶντα τὰ Χερουβείμ, ἱπτάμενα κραυγάζει ἀλαλαγμῷ, τὸ ἔνθεον μέλος τῆς Τρισαγίας φωνῆς· μεθ᾽ ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, Δυνάμει τοῦ Σταυροῦ σου σῶσον ἡμᾶς.

Δόξα.

Εἰς οὐρανὸν τὰς καρδίας ἔχοντες, Ἀγγελικὴν μιμησώμεθα τάξιν, καὶ ἐν φόβῳ τῷ Ἀδεκάστῳ προσπέσωμεν, ἐπινίκιον ἀνακράζοντες αἶνον· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, Πρεσβείαις (τοῦ Ἁγίου τοῦ Ναοῦ) σῶσον ἡμᾶς.

Καὶ νῦν.

Κατακαμπτόμενοι τῷ πλήθει τῶν πταισμάτων ἡμῶν, καὶ μὴ τολμῶντες ἀτενίσαι τῷ ὕψει Σου, τὴν ψυχὴν σὺν τῷ σώματι κλίναντες, μετὰ Ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

ὁ ἱερεύς· μικρὰν συναπτήν. *«Ὅτι σόν τὸ Κράτος»*.

**ΚΑΘΙΣΜΑΤΑ:** ὁ Χορός· εἰς τὴν α΄ στιχολογίαν, τὰ Κατανυκτικὰ τοῦ πλ. δ΄ ἤχου (τῆς ἑβδομάδος) [ζήτει εἰς τὸ τέλος τοῦ Τριῳδίου].

Καθίσματα Σταυρώσιμα
Ἦχος πλ. δ΄.

Βλέπων ὁ Ληστής, τὸν Ἀρχηγὸν τῆς ζωῆς, ἐπὶ Σταυροῦ κρεμάμενον ἔλεγεν· Εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθείς, ὁ σὺν ἡμῖν σταυρωθείς, οὐκ ἂν ὁ ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο· ἀλλ᾽ ὁ πάντων ἀνεχόμενος, μνήσθητί μου Κύριε ἐν τῇ Βασιλείᾳ σου.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.
Ἐν μέσῳ δύο ληστῶν, ζυγὸς δικαιοσύνης, εὑρέθη ὁ Σταυρός σου· τοῦ μὲν καταγομένου εἰς Ἅιδην, τῷ βάρει τῆς βλασφημίας, τοῦ δὲ κουφιζομένου πταισμάτων, πρὸς γνῶσιν Θεολογίας. Χριστὲ ὁ Θεὸς δόξα σοι.

Δόξα. Καὶ νῦν.
Σταυροθεοτοκίον - Ὅμοιον

Τὸν Ἀμνὸν καὶ Ποιμένα, καὶ Σωτῆρα τοῦ Κόσμου, ἐν τῷ Σταυρῷ θεωροῦσα, ἡ Τεκοῦσα ἔλεγε δακρύουσα· Ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις, ὁ Υἱὸς καὶ Θεός μου.

Εἰς τὴν β΄ καὶ γ΄ στιχολογίαν τὰ καθίσματα τῆς ἡμέρας τοῦ Τριῳδίου (Τετάρτης Ε΄ ἑβδομάδος).

Μετὰ τὴν β΄ Στιχολογίαν, τὰ παρόντα Καθίσματα.
Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Ξύλου γευσάμενος, Ἀδὰμ μὴ προσηκόντως, τῆς ἀκρασίας τοὺς καρποὺς πικρῶς ἐτρύγησεν· ὑψωθεὶς δὲ ἐν ξύλῳ τοῦτον ἐλυτρώσω, Οἰκτίρμον, τῆς καταδίκης τῆς χαλεπῆς· διό σοι ἀναβοῶμεν· Δίδου ἡμῖν, ἐγκρατεύεσθαι Δέσποτα, ἀπὸ καρποῦ φθοροποιοῦ, καὶ πράττειν σου τὸ θέλημα, ὅπως εὕρωμεν ἔλεος.

Δόξα. τὸ αὐτό.

Καὶ νῦν. Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐξ αἱμάτων σου ἁγνῶν σωματωθέντα, καὶ ὑπὲρ ἔννοιαν ἐκ σοῦ Σεμνὴ τεχθέντα, ἐπὶ ξύλου κρεμάμενον μέσον τῶν κακούργων, ὁρῶσα, τὰ σπλάγχνα ἤλγεις, καὶ μητρικῶς, θρηνοῦσα, ἐβόας· Οἴμοι Τέκνον ἐμόν! Τίς ἡ θεία καὶ ἄφατος, οἰκονομία σου δι᾽ ἧς, ἐζῴωσας τὸ πλάσμα σου; ἀνυμνῶ σου τὸ εὔσπλαγχνον.

Μετὰ τὴν γ´ Στιχολογίαν Καθίσματα.

Ἦχος β´. Τὴν ἄχραντον Εἰκόνα σου.

Τὸ ξύλον τὸ πανάγιον, ἀνυμνοῦντες τοῦ Σταυροῦ, τὴν ἄκραν ἀγαθότητα, προσκυνοῦμέν σου ἀεί, Χριστὲ ὁ Θεός· ἐν τούτῳ γὰρ κατῄσχυνας, τὰς δυνάμεις τοῦ ἐχθροῦ, καὶ ἔδωκας σημείωσιν, τοῖς πιστεύουσιν εἰς σέ· ὅθεν εὐχαρίστως βοῶμέν σοι· Πάντας ἀξίωσον, εὐθύμως εἰρηνεύοντας, ἀποπληρῶσαι τῆς Νηστείας τὸν χρόνον.

Δόξα. τὸ αὐτό.

Καὶ νῦν. Σταυροθεοτοκίον.

Τὸν ἄμωμον Ποιμένα σε, καθορῶσα ἡ Ἀμνάς, ἐν ξύλῳ ἀναρτώμενον, θρηνῳδοῦσα μητρικῶς, ἐβόα· Θανάτῳ σε, Υἱὲ κατέκρινεν ὁ ἀχάριστος λαός, ἀνθ᾽ ὧν νεφέλην ἥπλωσας, εἰς διάβασιν αὐτῷ· οἴμοι ἀτεκνοῦμαι ἡ ἄνανδρος! Ἀλλ᾽ ἐξανάστηθι καὶ λάμψον Ἥλιε, καὶ δοξασθήσομαι ἐν τοῖς υἱοῖς τῶν γηγενῶν.

ὁ Ν´ Ψαλμὸς χῦμα,

ὁ ἱερεύς· «*Σῶσον, ὁ Θεός*», «*Κύριε, ἐλέησον*» (ιβ´) καὶ ἡ ἐκφώνησις «*Ἐλέει καὶ οἰκτιρμοῖς*».

**ΑΙ ΩιΔΑΙ:** Ἐν συνεχείᾳ στιχολογοῦνται αἱ ἐννέα βιβλικαὶ Ὠιδαὶ κατὰ τὴν τάξιν αὐτῶν.

Σήμερον θὰ διαβασθῇ ὁλόκληρος ἡ γ´ Ὠιδή.

**ΚΑΝΟΝΕΣ:** Εἶτα ἀναγινώσκονται οἱ Κανόνες

*ὡς ἑξῆς· εἰς ὅσας ᾠδὰς ὑπάρχουν τριῴδια προηγεῖται ὁ κανὼν τοῦ Μηναίου μετὰ τῶν εἱρμῶν αὐτοῦ καὶ ἕπονται τὰ Τριῴδια,*

*εἰς δὲ τὰς λοιπὰς ᾠδὰς μόνον ὁ Κανὼν τοῦ Μηναίου.*

*Εἰς τὸ τέλος τῆς γ´ ᾠδῆς τοῦ κανόνος ψάλλεται ὁ τοῦ β´ Τριῳδίου,*

ὁ Κανὼν τῆς Ἁγίας,

οὗ ἡ Ἀκροστιχίς· Ἀιθλ᾽ ἀρετῆς Μαρίης ἀγλαόφρονος ᾄσμασι μέλπω.

ποίημα Θεοφάνους.

Ὠιδὴ α´.

Ἦχος β´. Ὁ Εἱρμός.

«Ἐν βυθῷ κατέστρωσε ποτέ, τὴν Φαραωνίτιδα, πανστρατιάν, ἡ ὑπέροπλος δύναμις· σαρκωθείς, ὁ Λόγος δέ, τὴν παμμόχθηρον ἁμαρτίαν ἐξήλειψεν, ὁ δεδοξασμένος Κύριος, ἐνδόξως γὰρ δεδόξασται».

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀγλαΐας τῆς πλησιφαοῦς, καὶ τῆς φωτοδότιδος μαρμαρυγῆς, νῦν εὑροῦσα τὴν ἔλλαμψιν, τὴν ψυχήν μου δέομαι φωταγώγησον, σκοτισθεῖσαν τοῖς πάθεσι, σοῦ ταῖς ἱκεσίαις, ἔνδοξε Μαρία ταῖς πρὸς Κύριον.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Θανατοῦσα πάλαι τὴν ψυχήν, ὑπὸ τῆς τοῦ ὄφεως, ἐπιβουλῆς, καὶ παραλόγοις πράξεσιν, ἐγκατολισθαίνουσα, καὶ πρὸς βάραθρον ἀπωλείας ἐμπίπτουσα, τὰ κρείττονα εἵλου, καὶ τῶν ἐπικήρων κατεφρόνησας.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Λογισμοῖς ἀτόποις ἐμπαθῶς, χραίνουσα τὸ πρότερον, τὸ εὐγενὲς τῆς ψυχῆς καὶ ἀδούλωτον, καὶ τὸ δυσωδέστατον, περιβόλαιον τῆς φθορᾶς περιφέρουσα, τῆς ἀκαταλήπτου δόξης, ἠμνημόνεις τοῦ Ποιήσαντος.

Δόξα.

Ἀκρασίᾳ τρέφουσα τὸν νοῦν, καὶ τῇ ματαιότητι, τῶν ἡδονῶν, τοὺς ἐραστὰς φαυλίζουσα, μετουσίας κρείττονος, ἀπετείχισας σεαυτήν, ἀξιάγαστε, ἀντιβαλομένη, πάσης ἁμαρτίας τὴν θρασύτητα.

Καὶ νῦν.

Θεοτοκίον

Ῥυπωθέντα πάθεσι τὸν νοῦν, καὶ τοῖς παραπτώμασι, μωλωπισθέντα καὶ δεινῶς κλονούμενον, ἡ τὴν ἐνυπόστατον, καὶ ζωήῤῥυτον ἀφθαρσίαν κυήσασα, Κεχαριτωμένη, κάθαρον καὶ ῥῦσαι τῶν πταισμάτων με.

## ᾨδὴ γ΄.

τῆς Ἁγίας

Ἦχος β΄. Ὁ Εἱρμὸς.

«Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας, ἐπλάτυνας τὸ στόμα μου ἐπ᾽ ἐχθρούς μου· ηὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν· Οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε».

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπτερώθης τῷ πόθῳ τῷ ὑπερθέῳ, καὶ δόξης φθειρομένης ἀποῤῥαγεῖσα, προσήγγισας κραυγάζουσα τῷ Δεσπότῃ· Οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τῷ ξύλῳ προσελθοῦσα τῆς ἁμαρτίας, καὶ γνῶσιν μυηθεῖσα θανατηφόρον, προσέδραμες τῷ ξύλῳ τῷ ζωηφόρῳ, Χριστῷ κραυγάζουσα· Σύ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ Κύριε.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἠράσθης τῆς ἀῤῥήτου φωτοχυσίας, καὶ πάντων τῶν προσκαίρων ὑπεριδοῦσα, ἀνέδραμες πρὸς ἄϋλον θεωρίαν, ἐν πίστει κράζουσα· Σύ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Συνήφθημεν τῷ τόκῳ σου Θεοτόκε, ταῖς θείαις τῶν Ἀγγέλων χοροστασίαις· τὸν Κτίστην γὰρ συνέλαβες ἀποῤῥήτως, καὶ ἐσωμάτωσας τὸν ἀκατάληπτον, ὅθεν Θεοτόκον σε πάντες σέβομεν.

τοῦ Τριῳδίου

(ποίημα τοῦ κυρίου Ἰωσήφ)

Ἦχος πλ. δ΄. Οὐρανίας ἁψῖδος.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Κατακρίνας τὴν ἔχθραν, ἐν τῷ Σταυρῷ ἔτεινας, σοῦ Δικαιοκρίτα παλάμας· νῦν δὲ κατάκριτον, ὄντα με πταίσμασι, σῶσον τὸν ἄσωτον Σῶτερ, τὸν παραπικράναντα, Σὲ τὸν μακρόθυμον.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Τὴν κτηνώδη ποθήσας, παθοποιὸν βίωσιν, σοῦ τῶν ἐντολῶν ἐμακρύνθην, Σῶτερ πανάγαθε, ξένοις δουλούμενος, καὶ ἀκαθάρτοις πολίταις· νῦν δὲ ἐπιστρέφοντα, δέξαι καὶ σῶσόν με.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Μογγιλάλου ὡς πάλαι, τὰς ἀκοὰς ἤνοιξας, ἄνοιξον ψυχῆς μου τὰ ὦτα, γνώμῃ κωφεύοντα, καὶ ἐνωτίζεσθαι, σοῦ τὸν σωτήριον λόγον, Ἰησοῦ ἀξίωσον, μόνε Φιλάνθρωπε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ σωτήριος Πύλη, ἡ πρὸς Θεὸν γέφυρα τῶν Χριστιανῶν ἡ προστάτις, Πάναγνε Δέσποινα, περιστατούμενον, ταῖς συμφοραῖς με τοῦ βίου, καὶ κλυδωνιζόμενον, Κόρη κυβέρνησον.

Ἕτερον Τριῴδιον

(ποίημα τοῦ κυρίου Θεοδώρου)

Ἦχος β´. Στειρωθέντα μου τὸν νοῦν.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Διὰ σπλάγχνα οἰκτιρμῶν, ἀνελθὼν ἐν τῷ Σταυρῷ, ἀνείλκυσάς με, ἐκ βαράθρων παθῶν, καὶ ἀνύψωσας Χριστὲ εἰς τὰ οὐράνια.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Ἐκπετάσας ἐν Σταυρῷ, τὰς παλάμας σου Χριστέ, τὰ ἔθνη πάντα, τὰ μακρὰν ἀπὸ σοῦ, ἠγκαλίσω κατεγγύς, στῆναι τοῦ κράτους σου.

Δόξα.

Τριαδικόν

Τρισυπόστατε Μονάς, Ὑπερούσιε Τριάς, Θεότης μία, ὁ Πατήρ, καὶ ὁ Υἱός, καὶ τὸ Πνεῦμα τὸ εὐθές, σῷζε τοὺς σέβοντάς Σε.

Καὶ νῦν.

Θεοτοκίον

Τίς αἰνεῖν σε γηγενῶν, κατ᾽ ἀξίαν ἱκανοῖ, Παρθενομῆτορ; Καὶ γὰρ σὺ ἐν γυναιξί, μόνη ὤφθης ἐκλεκτή, καὶ παμμακάριστος.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Ἀνυψώθης ἐν Σταυρῷ, ἐλογχεύθης τὴν πλευράν, χολῆς ἐγεύσω, δι᾽ ἐμὲ ὦ Ἰησοῦ, τὸν ἐκ τῆς παρακοῆς, παραπικράναντά σε.

Καταβασία

Ἦχος β´. Ὁ Εἱρμός.

«Στειρωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ Θεός, ἀνάδειξόν με, γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐσπλαγχνίᾳ σου».

ὁ ἱερεύς· αἴτησιν καὶ ἐκφώνησιν· *«Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν»*

τὸ Μεσῴδιον Κάθισμα τοῦ Μηναίου μετὰ τοῦ Θεοτοκίου

Μεσῴδιον Κάθισμα.

Ἦχος πλ. δ´. Τὴν Σοφίαν καὶ Λόγον.

Τὰ σκιρτήματα πάντα τὰ τῆς σαρκός, χαλινώσασα πόνοις ἀσκητικοῖς, ἀνδρεῖον ἀπέδειξας, τῆς ψυχῆς σου τὸ φρόνημα· τὸν γὰρ Σταυρὸν ποθήσασα, Κυρίου θεάσασθαι· ἱερῶς ἀοίδιμε, τῷ κόσμῳ ἐσταύρωσαι· ὅθεν καὶ πρὸς ζῆλον, ἀγγελικῆς πολιτείας, προθύμως διήγειρας, σεαυτὴν παμμακάριστε. Διὰ τοῦτο γεραίρομεν, τὴν μνήμην σου Μαρία πιστῶς, τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι, τοῦ δωρηθῆναι πλουσίως, ἡμῖν ταῖς πρεσβείαις σου.

Δόξα. Καὶ νῦν.

Σταυροθεοτοκίον

Τὸν ἀμνὸν καὶ ποιμένα καὶ Λυτρωτήν, ἡ ἀμνὰς θεωροῦσα ἐπὶ Σταυροῦ, ἀδίκως κρεμάμενον, θρηνῳδοῦσα ἐκραύγαζεν· Οἴμοι φίλτατον τέκνον! τί τοῦτο τὸ μέγιστον, καὶ φρικτὸν καὶ ξένον, ὃ βλέπω μυστήριον; Κόπτομαι τὰ σπλάγχνα, καὶ στενάζειν οὐ σθένω, καὶ φέρειν οὐ δύναμαι, καθορᾶν Σε νεκρούμενον· ἀλλὰ Δέσποτα Κύριε, οἴκτειρον Μητρὸς στεναγμούς, καὶ χαρᾶς με ἔμπλησον, ὡς ἔφησας, ἐξαναστὰς ἐκ τοῦ τάφου, ὡς Θεὸς παντοδύναμος.

Ὠιδὴ δ´.

Ἦχος β´. Ὁ Εἱρμὸς.

«Ὑμνῶ σε· ἀκοὴν γὰρ Κύριε, εἰσακήκοα καὶ ἐξέστην· ἕως ἐμοῦ ἥκεις γάρ, ἐμὲ ζητῶν τὸν πλανηθέντα· διὸ τὴν πολλήν σου ἀγαθότητα, τὴν εἰς ἐμὲ δοξάζω Πολυέλεε».

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μετήχθης, ἐκ πατρίδος ἔνδοξε, τῇ Προνοίᾳ πλωϊζομένη, πρὸς γῆν τῷ σῷ ἔρωτι, Σιωνιτῶν Ὁσία Μῆτερ, ἐν ᾗ διὰ τῆς ἐξαγορεύσεως, τῶν πεπραγμένων εὗρες τὴν διάλυσιν.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀδήλως, ὠθουμένη ἔνδοξε, καὶ βελτίονος ἐποπτείας, μὴ προσεχῶς βλέπουσα, τὴν ἄφραστον

φωτοδοσίαν, τὸν νοῦν ἐπιστάτην καταστήσασα, τῆς ἀδηλίας ἔγνως τὰ ἀπόκρυφα.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥωσθεῖσα, σωτηρίῳ χάριτι, καὶ τὴν θείαν καὶ φωτοφόρον, κατιδοῦσα ἔλλαμψιν, τὰ ὄμματα καὶ τὴν καρδίαν, Σταυρῷ τῷ πανσέπτῳ προσεπέλασας, καὶ σωτηρίας ἔνθεν ἐκοινώνησας.

Δόξα.

Ἰδοῦσα, τὸ φωτοειδέστατον, τῆς Παρθένου καὶ Θεοτόκου, χαρμονικῶς ἴνδαλμα, προσέδραμες μετὰ δακρύων, αὐτῇ τὰς συνθήκας παμμακάριστε, παραθεμένη πάσης τῆς βιώσεως.

Καὶ νῦν.

Θεοτοκίον

Ἡνώθη, ἀποῤῥήτῳ νεύματι, ἀσυγκρίτῳ τε προμηθείᾳ, οὐσιωδῶς Πάναγνε, καὶ ὅλον με ἀνακαινίζει, ἐκ σοῦ σαρκοφόρος προερχόμενος, ὁ οὐσιώσας ἅπαντα βουλήματι.

Ὠιδὴ ε΄.

Ἦχος β΄. Ὁ Εἱρμὸς.

«Ὁ φωτισμός, τῶν ἐν σκότει κειμένων, ἡ σωτηρία, τῶν ἀπεγνωσμένων Χριστὲ Σωτήρ μου, πρὸς σὲ ὀρθρίζω, Βασιλεῦ τῆς εἰρήνης, φώτισόν με τῇ ἐπιλάμψει σου· ἄλλον γὰρ ἐκτός Σου Θεὸν οὐκ ἐπίσταμαι».

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Συμβολικῶς, ἐκδημοῦσα τοῦ βίου, καὶ πρὸς τὴν θείαν, κατεπειγομένη τῆς ἀπαθείας, τρίβον θεόφρον, διαβέβηκας πόθῳ, Ἰορδάνου τὰ περιβόητα νάματα, καὶ δόξης ἀῤῥήτου τετύχηκας.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀῤῥενωπός, τὴν ψυχὴν κεκτημένη πρὸς τοὺς ἀγῶνας, ὥρμησας ἀθλοῦσα διαφερόντως, τῶν ἐναντίων, τὴν δυσκάθεκτον πλάνην, καρτεροῦσα νεανικώτατα, τὸ τῆς ἐγκρατείας Μαρία ἀγλάϊσμα.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Γνώμῃ στεῤῥᾷ, ἐκτινάξασα Μῆτερ τὴν γυναικείαν, φύσιν καὶ τὰ πάθη δι᾽ ἐγκρατείας, σὺ λουσαμένη, ὡς ἐν θείῳ λειμῶνι, ἐν ἐρήμῳ περιπολεύουσα, ἔχαιρες ὁρῶσα τὸ κάλλος τοῦ Κτίστου σου.

Δόξα.

Λόγοις ὁ πρίν, ὑποφθείρας τὴν Εὔαν ἐν Παραδείσῳ, καὶ τῆς ἀϊδίου τρυφῆς ἐκείνης, ἐξοστρακίσας, μηχαναῖς πολυτρόποις, νῦν πατεῖται καὶ καταβέβληται, τοῖς ἀνδρικωτάτοις σου Μῆτερ παλαίσμασιν.

Καὶ νῦν.

Θεοτοκίον

Ἀνατολήν, τοῦ Ἡλίου τῆς δόξης, καὶ φωτοφόρον, ὄχημα Παρθένε τοῦ Βασιλέως ἐν ᾧ ἐπέβη, ὁ Υἱὸς τοῦ Ὑψίστου, κιβωτόν τε τῆς ἀγαθότητος, φέρουσαν ἐν κόσμῳ Χριστὸν ἐπιστάμεθα.

Ὠιδὴ ϛ΄.

Ἦχος β΄. Ὁ Εἱρμὸς.

«Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς Εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον· Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε».

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁλοτρόπως ἐθέλχθης τῷ ἔρωτι, τῆς ἐπιφανείας Χριστοῦ παμμακάριστε, καὶ τῶν παθῶν τὴν ἔφοδον, ἀπεκρούσω ῥωσθεῖσα τῷ Πνεύματι.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Φαιδρυνθεῖσα τῷ κάλλει τῶν ἔργων σου, τὰς ἐπαναστάσεις τοῦ σκότους διέλυσας, καὶ τῶν ἐχθρῶν τὰ πρόσωπα, ἀπημαύρωσας πόνοις ἀσκήσεως.

Δόξα.

Ῥωμαλέως τὸ ὄμμα ἠτένιζες, ἐπικαλουμένη τὴν μόνην Πανάμωμον, καὶ πρὸς αὐτὴν ἑκάστοτε,

προσεπερειδομένη πανεύφημε.

Καὶ νῦν.

Θεοτοκίον

Οὐρανῶν ἀνεδείχθης ὑπέρτερος, θρόνος Παναμώμητε τοῦ Βασιλεύοντος, σωματικῶς χωρήσασα, τῆς αὐτοῦ Θεαρχίας τὸ πλήρωμα.

Καταβασία

Ἦχος β΄. Ὁ Εἱρμὸς.

«Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς Εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον· Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε».

ὁ ἱερεύς· αἴτησιν καὶ ἐκφώνησιν· *«Σὺ γὰρ εἶ ὁ βασιλεύς»*.

Εἶτα ἀντὶ Κοντακίου τὸ ἐνδιάτακτον Μαρτυρικὸν Κάθισμα τοῦ Ἦχου τῆς Ἑβδομάδος
[τὸ τυχὸν Κοντάκιον τοῦ Μηναίου καταλιμπάνεται]

Τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ, ἀκλινεῖς ὁδοιπόροι γεγόνατε, ἅγιοι Μάρτυρες, τῶν γὰρ πειρασμῶν τὴν τρικυμίαν ὑπεμείνατε, καὶ τῶν Ἀσωμάτων Λειτουργῶν τὴν πολιτείαν ἀνελάβετε, πέτρα ὑπομονῆς, καὶ θεμέλιοι εὐσεβείας ἀνεδείχθητε, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

καὶ τὸ Συναξάριον.

Τῇ Α΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.

Στίχοι

Ἀπῆρε πνεῦμα, σὰρξ ἀπεῤῥύη πάλαι·
Τὸν ὄστινον γῆ κρύπτε νεκρὸν Μαρίας.
Πρώτῃ Ἀπριλίου Μαρίη θάνεν εὖχος ἐρήμου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Μακαρίου, Ἡγουμένου τῆς Μονῆς τῆς καλουμένης Πελεκητῆς.

Στίχοι

Ὁ Μακάριος μακαριστὸς ἐν βίῳ,
Μακαρίως νῦν γῇ ἐνοικεῖ Μακάρων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων ἐνδόξων Μαρτύρων Γεροντίου καὶ Βασιλείδου.

Στίχοι

Σὺν Βασιλείδῃ Γερόντιος ἐκ ξίφους,
Γερῶν μετέσχε παμβασιλέως Λόγου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Δικαίου Ἀχαζ.

Στίχοι

Ἀχαζ Θεοῦ πέφυκεν ἑστὼς πλησίον,
Ἀχαζ, ὃς εἶπεν· οὐ Θεόν μου πειράσω.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μελίτωνος, Ἐπισκόπου Σάρδεων.

Στίχοι

Μέλι, Μελίτων, τρύγα ἐν Παραδείσῳ,
Ὁ λόγους γλυκεῖς συνθέσας ὥσπερ μέλι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Εὐθυμίου Σουζδαλίας τοῦ θαυματουργοῦ, τοῦ Ρώσου.

Στίχοι

Εἰκὼν ὑπάρξας καὶ τύπος μοναζόντων,
Βαδίζει Εὐθύμιος εἰς χώραν ζώντων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Μάρτυρος Ἀβραὰμ τοῦ Βουλγάρου.

Στίχοι

Ἔχει διὰ σὲ Ἀβραὰμ ὁ προπάτωρ,
Κόλπον, Ἀβραάμ, τερπνὸν ἐν παραδείσῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Γεροντίου, κανονάρχου τῆς Λαύρας τῶν Σπηλαίων τοῦ Κιέβου.

Στίχοι

Ναί! Γερόντιε, καὶ ἄνω κανονάρχει,
Ἔνθα Ἄγγελοι ᾄδουσι τῷ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Ἰωάννου Σκιαβτέλι τοῦ ἐν τῇ Μονῇ Γκελάτι τῆς Γεωργίας.

Στίχοι

Βίου τὰ τερπνὰ καὶ τιμὰς βασιλέων,
Ὑπὲρ Χριστοῦ, Αὐτὸν Ἰωάννης βλέπει.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

[ἐν τῇ η΄ ᾠδῇ πρὸ τοῦ Τριαδικοῦ, ἀντὶ τοῦ Δόξα, λέγομεν «*Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὸν Κύριον*»]

[Εἰς ἀρκετὰς Ἐνορίας παραλείπουν τὴν ἀνάγνωσιν τῶν Ὠιδῶν ζ΄, η΄, θ΄, ὡς καθ᾽ ὅλον τὸν ἐνιαυτόν]

Εἰς τὸ *«Αἰνοῦμεν, εὐλογοῦμεν»* ὁ εἱρμὸς τῆς η΄ ᾠδῆς τοῦ β΄ Τριῳδίου,

Ἦχος β΄. Ὁ Εἱρμός.

«Τὸν ἐν φωναῖς Ἀγγελικαῖς, ἐν Οὐρανοῖς δοξαζόμενον Θεόν, αἰνέσωμεν ἅπαντες οἱ γηγενεῖς, εἰς τοὺς αἰῶνας ἅπαντας».

ὁ ἱερεύς· *«Τὴν Θεοτόκον καὶ μητέρα»*

ὁ Χορός· στιχολογεῖ *«Τὴν τιμιωτέραν»*·

εἶτα ὁ εἱρμὸς τῆς θ΄ ᾠδῆς τοῦ β΄ Τριῳδίου

Ἦχος β΄. Ὁ Εἱρμός.

«Τὴν παρθενίαν σου Θεοτόκε ἀμίαντε, ἣν οὐ κατέφλεξε, τὸ πῦρ τῆς Θεότητος, ὕμνοις ἀσιγήτοις μεγαλύνομεν».

καὶ τὸ *«Ἄξιον ἐστίν»*.

ὁ ἱερεύς· Αἴτησιν, καὶ ἐκφώνησιν· *«Ὅτι σέ αἰνοῦσι»*.

**ΦΩΤΑΓΩΓΙΚΟΝ:** ψάλλεται (ἐκ τρίτου) τὸ τοῦ ἤχου τῆς ἑβδομάδος ἀντὶ Ἐξαποστειλαρίου.

Φωταγωγικὸν τοῦ πλ. δ΄ Ἦχου.

Φῶς ὑπάρχων Χριστέ, φώτισόν με ἐν Σοί, δυνάμει, Κύριε, τοῦ Σταυροῦ σου, καὶ σῶσόν με.

Φῶς ὑπάρχων Χριστέ, φώτισόν με ἐν Σοί, Πρεσβείαις, Κύριε, (τοῦ ἁγίου τοῦ Ναοῦ), καὶ σῶσόν με.

Φῶς ὑπάρχων Χριστέ, φώτισόν με ἐν Σοί, Πρεσβείαις, Κύριε, τῆς Θεοτόκου καὶ σῶσόν με.

[ψαλμοὶ τῶν Αἴνων καὶ Στιχηρὰ Αἴνων δὲν ψάλλονται]

ὁ ἱερεύς· *«Σοί δόξα πρέπει»* καὶ ὁ Ἀναγνώστης· τὴν Δοξολογίαν (χῦμα).

ὁ ἱερεύς· *«Πληρώσωμεν τὴν ἑωθινὴν»* κ.τ.λ, Κεφαλοκλισία, ὡς συνήθως. *«Σὸν γάρ ἐστι τὸ ἐλεεῖν»*.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ ΤΩΝ ΑΙΝΩΝ:**

ὁ Χορός· τὰ δύω Ἰδιόμελα τοῦ Τριῳδιου
καὶ τὸ Μαρτυρικὸν εἰς τοὺς οἰκείους στίχους,
Δόξα. Καὶ νῦν, Θεοτοκίον

Ἀπόστιχα τῶν Αἴνων.

Ἰδιόμελον. Ἦχος γ΄.

Τὸ ὕψος τῶν ἀρετῶν, καταλιποῦσα ψυχή μου, ἐπὶ τὸ βάθος τῆς ἁμαρτίας κατελήλυθας, πονηροῖς ὁδοστάταις ἐμπεσοῦσα· τραυμάτων δὲ ὀδωδότων γέμουσα, κεῖσαι ἐῤῥιμμένη ἄπορος· Διὸ βόησον Χριστῷ τῷ Θεῷ, τῷ διὰ σὲ σταυρωθέντι, καὶ μώλωπας ἑκουσίως δεξαμένῳ· Ἐπιμελήθητί μου Κύριε, καὶ σῶσόν με.

Ἕτερον Ἰδιόμελον

Ἦχος πλ. δ΄.

Στίχ. α΄. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ᾽ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδο-

μεν κακά, καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.
Τοῖς ληστρικοῖς λογισμοῖς, τραυματισθεὶς ὁ δείλαιος, ἡμίθνητος γέγονα Κύριε· Προφητῶν δὲ ὁ χορὸς παρεῖδεν, ἡμιθανῆ κατιδὼν τυγχάνοντα, καὶ τέχναις ἀνθρωπίναις ἀνιάτρευτον. Διὸ χαλεπῶς ὀδυνώμενος, ἐν ταπεινώσει καρδίας κραυγάζω σοι· Χριστὲ ὁ Θεός, ἐπίχεε ὡς Εὔσπλαγχνος, ἐπ᾽ ἐμὲ τὸ μέγα σου ἔλεος.

Μαρτυρικόν

Στίχ. β΄. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ᾽ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.
Μάρτυρες Χριστοῦ οἱ ἀήττητοι, οἱ νικήσαντες τὴν πλάνην, τῇ δυνάμει τοῦ Σταυροῦ, ἀπελάβετε τὴν χάριν τῆς αἰωνίου ζωῆς· τυράννων ἀπειλὰς οὐκ ἐπτοήθητε, βασάνοις αἰκιζόμενοι ηὐφραίνεσθε, καὶ νῦν τὰ αἵματα ὑμῶν, γέγονεν ἰάματα ταῖς ψυχαῖς ἡμῶν· πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν.

Σταυροθεοτοκίον

Ἡ Πάναγνος ὡς εἶδέ σε, σαρκὶ κρεμάμενον τῷ ξύλῳ, τὴν καρδίαν ἐτιτρώσκετο καὶ ὠλόλυζε δακρύουσα· Λόγε, ποῦ μου ἔδυς παμφίλτατε Ἰησοῦ, Υἱέ μου καὶ Κύριε; μὴ λίπῃς με μόνην, Χριστὲ τὴν τεκοῦσάν σε.

ὁ ἱερεύς· *«Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι»*,

ὁ Ἀναγνώστης· Τρισάγιον κ.λπ.,

Αὖθις, τὸ Ἀπολυτίκιον χῦμα

ὁ Ἀναγνώστης· *«Ἐν τῷ ναῷ ἑστῶτες»*, *«Κύριε, ἐλέησον»* (μ΄), Δόξα. Καὶ νῦν. *«Τὴν τιμιωτέραν»*, *«Ἐν ὀνόματι Κυρίου»*·

ὁ ἱερεύς· *«Ὁ ὢν εὐλογητός»*,

ὁ Προεστώς· *«Ἐπουράνιε βασιλεῦ»*, αἱ τρεῖς μεγάλαι μετάνοιαι μετὰ τῆς Εὐχῆς τοῦ Ὁσ. Ἐφραὶμ *«Κύριε καὶ δέσποτα τῆς ζωῆς μου»*.

Καὶ εὐθὺς ἐπισυνάπτονται αἱ Ὧραι.

**ΑΙ ΩΡΑΙ:** ἀρχόμεναι πᾶσαι μετὰ τοῦ *«Δεῦτε προσκυνήσωμεν»* γ΄, κατὰ τὴν τάξιν τοῦ Τριῳδίου καὶ τοῦ Ὡρολογίου

[ἐν ταῖς ἐνορίαις μετὰ τὴν εὐχὴν τοῦ ἁγίου Ἐφραὶμ παραλείπεται τὸ τρισάγιον καὶ λέγεται εὐθὺς ἡ Εὐχὴ ἑκάστης Ὥρας]

Εἰς τὴν Θ΄ ὥραν, μετὰ τὸ Τρισάγιον καὶ τὰ μετ᾽ αὐτὸ τροπάρια *«Βλέπων ὁ ληστὴς»* κ.λπ., τὸ *«Κύριε, ἐλέησον»* (μ΄), Δόξα. Καὶ νῦν. *«Τὴν τιμιωτέραν»*, *«Ἐν ὀνόματι Κυρίου»*,

ὁ ἱερεύς· *«Δι᾽ εὐχῶν»*

ὁ Προεστώς· *«Κύριε καὶ Δέσποτα»* καὶ τρεῖς μεγάλαι μετάνοιαι.

οἱ Χοροί· εἰς ἦχον πλ. δ΄ τοὺς Μακαρισμοὺς μετ᾽ ἐφυμνίου εἰς ἕκαστον στίχον τὸ *«Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου»*, κατὰ τὴν ἐν τῷ Τριῳδίῳ καὶ Ὡρολογίῳ τάξιν.

Εἶτα ὁ Ἀναγνώστης· τὰ τροπάρια *«Χορὸς ὁ ἐπουράνιος»* κ.λπ., Καὶ νῦν.

ὁ Προεστώς· *«Πιστεύω εἰς ἕνα Θεόν»*, καὶ τὸ *«Ἄνες, ἄφες, συγχώρησον»*.

τὸ *«Πάτερ ἡμῶν»*, ὁ ἱερεύς· *«Ὅτι σοῦ ἐστί»*,

ὁ Ἀναγνώστης· τὰ Κοντάκια *«Ἐπὶ τοῦ ὄρους μετεμορφώθης»*,

τὸ τῆς ἡμέρας τῆς ἑβδομάδος (βλέπε αὐτὸ εἰς τὴν Ἀκολουθίαν τῶν τυπικῶν), ἤτοι·

Κοντάκιον τοῦ Σταυροῦ. Ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· Εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

τοῦ ἁγίου τοῦ Ναοῦ,

τὸ ἐνδιάτακτον μαρτυρικόν (τὸ ὁποῖον ἀνεγνώσθη καὶ μετὰ τὴν ϛ´ ᾠδὴν τῶν κανόνων), ἤτοι·

τὸ Μαρτυρικὸν Κάθισμα τοῦ Ἤχου τῆς Ἑβδομάδος

Τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ, ἀκλινεῖς ὁδοιπόροι γεγόνατε, ἅγιοι Μάρτυρες, τῶν γὰρ πειρασμῶν τὴν τρικυμίαν ὑπεμείνατε, καὶ τῶν Ἀσωμάτων Λειτουργῶν τὴν πολιτείαν ἀνελάβετε, πέτρα ὑπομονῆς, καὶ θεμέλιοι εὐσεβείας ἀνεδείχθητε, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, τὸ νεκρώσιμον «*Μετὰ τῶν ἁγίων*», Καὶ νῦν, Θεοτοκίον «*Προστασία*»,

«*Κύριε, ἐλέησον*» (μ´), «*Ὁ ἐν παντὶ καιρῷ*», «*Κύριε, ἐλέησον*» (γ´), Δόξα, Καὶ νῦν, «*Τὴν τιμιωτέραν*», «*Ἐν ὀνόματι Κυρίου*»,

ὁ ἱερεύς· «*Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς*».

ὁ Προεστώς· «*Κύριε καὶ Δέσποτα*» καὶ τρεῖς μεγάλαι μετάνοιαι, μεθ᾽ ἃς ἄρχεται ὁ

**Ἑσπερινὸς τῆς 2ας Ἀπριλίου καὶ Θεία Λειτουργία τῶν Προηγιασμένων Δώρων**

02.04.2020

Τίτου Ὁσίου, Ἀμφιανοῦ καὶ Αἰδεσίου Μαρτύρων, Θεοδώρας Παρθενομάρτυρος

**Ἡ Ἀκολουθία αὐτὴ καταρτίσθηκε**
**καὶ διανέμεται δωρεὰν**
**ἀπὸ τὸν ὀρθόδοξο Ἱστότοπο**
**http://akolouthies.wordpress.com**
**Προσφέρεται γιὰ ἰδιωτικὴ χρῆσι.**
**Δὲν ἐπιτρέπεται ἡ ἐμπόρευσί της.**